Ιουδα [10]καὶ ἐρεῖς Οὕτως εἶπεν κύριος Ἰδοὺ ἐγὼ ἀποστέλλω καὶ 10
ἄξω Ναβουχοδονοσορ βασιλέα Βαβυλῶνος, καὶ θήσει αὐτοῦ τὸν
θρόνον ἐπάνω τῶν λίθων τούτων, ὧν κατέκρυψας, καὶ ἀρεῖ τὰ
ὅπλα αὐτοῦ ἐπ᾽ αὐτοὺς [11]καὶ εἰσελεύσεται καὶ πατάξει γῆν Αἰγύ- 11
πτου, οὓς εἰς θάνατον, εἰς θάνατον, καὶ οὓς εἰς ἀποικισμόν, εἰς
ἀποικισμόν, καὶ οὓς εἰς ῥομφαίαν, εἰς ῥομφαίαν. [12]καὶ καύσει πῦρ 12
ἐν οἰκίαις θεῶν αὐτῶν καὶ ἐμπυριεῖ αὐτὰς καὶ ἀποικιεῖ αὐτοὺς καὶ
φθειριεῖ γῆν Αἰγύπτου, ὥσπερ φθειρίζει ποιμὴν τὸ ἱμάτιον αὐτοῦ,
καὶ ἐξελεύσεται ἐν εἰρήνῃ. [13]καὶ συντρίψει τοὺς στύλους Ἡλίου 13
πόλεως τοὺς ἐν Ων καὶ τὰς οἰκίας αὐτῶν κατακαύσει ἐν πυρί.
[1]Ὁ λόγος ὁ γενόμενος πρὸς Ιερεμιαν ἅπασιν τοῖς Ιουδαίοις 51
τοῖς κατοικοῦσιν ἐν γῇ Αἰγύπτῳ καὶ τοῖς καθημένοις ἐν Μαγδώλῳ
καὶ ἐν Ταφνας καὶ ἐν γῇ Παθουρης λέγων [2]Οὕτως εἶπεν κύριος ὁ 2
θεὸς Ισραηλ Ὑμεῖς ἑωράκατε πάντα τὰ κακά, ἃ ἐπήγαγον ἐπὶ Ιε-
ρουσαλημ καὶ ἐπὶ τὰς πόλεις Ιουδα, καὶ ἰδού εἰσιν ἔρημοι ἀπὸ
ἐνοίκων [3]ἀπὸ προσώπου πονηρίας αὐτῶν, ἧς ἐποίησαν παραπι- 3
κρᾶναί με πορευθέντες θυμιᾶν θεοῖς ἑτέροις, οἷς οὐκ ἔγνωτε. [4]καὶ 4
ἀπέστειλα πρὸς ὑμᾶς τοὺς παῖδάς μου τοὺς προφήτας ὄρθρου καὶ
ἀπέστειλα λέγων Μὴ ποιήσητε τὸ πρᾶγμα τῆς μολύνσεως ταύτης,
ἧς ἐμίσησα. [5]καὶ οὐκ ἤκουσάν μου καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν 5
ἀποστρέψαι ἀπὸ τῶν κακῶν αὐτῶν πρὸς τὸ μὴ θυμιᾶν θεοῖς ἑτέ-
ροις. [6]καὶ ἔσταξεν ἡ ὀργή μου καὶ ὁ θυμός μου καὶ ἐξεκαύθη ἐν 6
πόλεσιν Ιουδα καὶ ἔξωθεν Ιερουσαλημ, καὶ ἐγενήθησαν εἰς ἐρήμω-
σιν καὶ εἰς ἄβατον ὡς ἡ ἡμέρα αὕτη. [7]καὶ νῦν οὕτως εἶπεν κύριος 7
παντοκράτωρ Ἵνα τί ὑμεῖς ποιεῖτε κακὰ μεγάλα ἐπὶ ψυχαῖς ὑμῶν
ἐκκόψαι ὑμῶν ἄνθρωπον καὶ γυναῖκα, νήπιον καὶ θηλάζοντα ἐκ
μέσου Ιουδα πρὸς τὸ μὴ καταλειφθῆναι ὑμῶν μηδένα, [8]παραπι- 8
κρᾶναί με ἐν τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν θυμιᾶν θεοῖς ἑτέροις ἐν
γῇ Αἰγύπτῳ, εἰς ἣν εἰσήλθατε ἐνοικεῖν ἐκεῖ, ἵνα ἐκκοπῆτε καὶ ἵνα
γένησθε εἰς κατάραν καὶ εἰς ὀνειδισμὸν ἐν πᾶσιν τοῖς ἔθνεσιν τῆς
γῆς; [9]μὴ ἐπιλέλησθε ὑμεῖς τῶν κακῶν τῶν πατέρων ὑμῶν καὶ τῶν 9

10 αυτου ult. > BSpau. || 11 εις θαν. 2⁰ et εις αποικ. 2⁰ et εις ρομφ. 2⁰ > S*pau. uel S*† || 12 θεων] pr. των B† | γην] pr. την S (in *O* sub ※) | αιγυπτου] αυτου A† | ποιμην] pr. ο A

51 (1—30 = 𝔐 44 1—30; 31—35 = 𝔐 45 1—5) 1 τοις ιουδαιοις τοις κατοικ.] τοις κατοικουσιν ιουδα S† | γη αιγυπτω] γη > S†, γη -πτου B: cf. 8. 26. 27. 28 | καθημ.] κατοικουσιν S† | και εν(>S†) ταφνας] + και εν μεμφει *L* = 𝔐: eadem pr. Ss† | γη ult. > A†: cf. 13. 15 || 2 ιερουσ.] ισραηλ S*† | τας > S | ιδου > S† | ενοικων BS†] -κουντων A || 3 οις] ους S || 4 παιδας] δουλους A | απεστειλα 2⁰] + εγω προς υμας A | μη] pr. ου S† || 5 μου > BS pau. = 𝔐 || 6 η οργη ... ο θυμος] tr. A | πολεσιν unus cod. (cf. 𝔐 et 17. 21)] πυλαις rel. || 7 επι ψυχας S* | εκκοψαι] και εκκοψω αφ A† || 8 εν γη] εις γην S† | αιγυπ⟨τ⟩ου S: cf. 1 | ηλθατε κατοικειν B(†) | εν ult. > A† || 9 κακων 1⁰] εργων A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/747 UNIVERSITÄT LEIPZIG